[22]Καὶ τῷ Δαν εἶπεν 22
Δαν σκύμνος λέοντος
καὶ ἐκπηδήσεται ἐκ τοῦ Βασαν.
[23]Καὶ τῷ Νεφθαλι εἶπεν 23
Νεφθαλι πλησμονὴ δεκτῶν
καὶ ἐμπλησθήτω εὐλογίαν παρὰ κυρίου·
θάλασσαν καὶ λίβα κληρονομήσει.
[24]Καὶ τῷ Ασηρ εἶπεν 24
Εὐλογητὸς ἀπὸ τέκνων Ασηρ
καὶ ἔσται δεκτὸς τοῖς ἀδελφοῖς αὐτοῦ.
βάψει ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ·
[25]σίδηρος καὶ χαλκὸς τὸ ὑπόδημα αὐτοῦ ἔσται, 25
καὶ ὡς αἱ ἡμέραι σου ἡ ἰσχύς σου.
[26]Οὐκ ἔστιν ὥσπερ ὁ θεὸς τοῦ ἠγαπημένου· 26
ὁ ἐπιβαίνων ἐπὶ τὸν οὐρανὸν βοηθός σου
καὶ ὁ μεγαλοπρεπὴς τοῦ στερεώματος.
[27]καὶ σκέπασις θεοῦ ἀρχῆς 27
καὶ ὑπὸ ἰσχὺν βραχιόνων ἀενάων
καὶ ἐκβαλεῖ ἀπὸ προσώπου σου ἐχθρὸν
λέγων Ἀπόλοιο.
[28]καὶ κατασκηνώσει Ισραηλ πεποιθὼς 28
μόνος ἐπὶ γῆς Ιακωβ
ἐπὶ σίτῳ καὶ οἴνῳ,
καὶ ὁ οὐρανὸς αὐτῷ συννεφὴς δρόσῳ.
[29]μακάριος σύ, Ισραηλ· 29
τίς ὅμοιός σοι λαὸς σῳζόμενος ὑπὸ κυρίου;
ὑπερασπιεῖ ὁ βοηθός σου,
καὶ ἡ μάχαιρα καύχημά σου·
καὶ ψεύσονταί σε οἱ ἐχθροί σου,
καὶ σὺ ἐπὶ τὸν τράχηλον αὐτῶν ἐπιβήσῃ.

[1]Καὶ ἀνέβη Μωυσῆς ἀπὸ Αραβωθ Μωαβ ἐπὶ τὸ ὄροςΝαβαυ ἐπὶ 34
κορυφὴν Φασγα, ἥ ἐστιν ἐπὶ προσώπου Ιεριχω, καὶ ἔδειξεν αὐτῷ
κύριος πᾶσαν τὴν γῆν Γαλααδ ἕως Δαν [2]καὶ πᾶσαν τὴν γῆν Νε- 2
φθαλι καὶ πᾶσαν τὴν γῆν Εφραιμ καὶ Μανασση καὶ πᾶσαν τὴν γῆν
Ιουδα ἕως τῆς θαλάσσης τῆς ἐσχάτης [3]καὶ τὴν ἔρημον καὶ τὰ περί- 3
χωρα Ιεριχω, πόλιν φοινίκων, ἕως Σηγωρ. [4]καὶ εἶπεν κύριος πρὸς 4
Μωυσῆν Αὕτη ἡ γῆ, ἣν ὤμοσα Αβρααμ καὶ Ισαακ καὶ Ιακωβ λέγων

22 εκπηδησει A || 23 νεφθαλειμ bis B | ευλογιας A || 24 ηυλογημενος A || 25 και 2$^{0}$ > B || 27 σκεπασις] -σεις A*, -σει σε B$^{c}$A$^{c}$ | αρχης] -ην A†, -η B$^{c}$ | και ult. > B*† || 28 πεποιθως μονος] tr. A | σιτου et οινου A | αυτω συννεφης M] tr. A†, σοι συνν. B || 29 σοι] σου A
34 1 προσωπον A | εως δαν > A† || 2 νεφθαλειμ A